1. Thy good-fortune is very pleasant to us. 2. All men admire you on account of your (see I. G. i. p. 48) virtue. 3. My children admire their father. 4. The son admires *his own* father. 5. Men admire *their own* children more than those of their friends. 6. The mother bears sorrow lightly on account of her children. 7. The poet admires *his own* poem, but not thine. 8. My gifts are more beautiful than thine. 9. Men (do) not willingly (ἑκών) flee from *their own* country. 10. Men bear the misfortune of their enemies easily, but *their own* and that-of (use the article) their friends (they bear) impatiently.

5. The Demonstrative Pronouns.

(I. G. page 46.)

1. ὅδε, ἥδε, τόδε, *this* (*hic*).
2. οὗτος, αὕτη, τοῦτο *this* (*hic*).
3. ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, *that, yonder* (*ille*).

Exercise XXX.

Observe the position of the Pronoun.

1. ταῦτα τὰ ἄνθη (*or* τὰ ἄνθη ταῦτα) ἐστὶ κάλλιστα. 2. οὗτοι οἱ ἄνδρες (*or* οἱ ἄνδρες οὗτοι) εἰσὶ συγγενεῖς ἐμοί. 3. ἐκεῖνοι οἱ ῥήτορες (*or* οἱ ῥήτορες ἐκεῖνοι) θαυμάζουσι τὰ ἑαυτῶν ποιήματα. 4. οἵδε οἱ παῖδές (*or* οἱ παῖδες οἵδε) εἰσιν ἀγαθοί. 5. τῆς ἡμέρας ἐκείνης * (*or* ἐκείνης τῆς ἡμέρας) πάντες οἱ πολῖται φεύγουσι τὴν πόλιν. 6. αὕτη ἡ ὁδός, ὦ παῖ, ἐστὶν ἀσφαλεστέρα, ἄλλη δέ ἐστι συντομωτέρα.

* Genitive answering the question *when?*

Digitized by Google

1. These words are faithful. 2. That man is very wealthy. 3. These footsteps are plain. 4. This path is shorter than that. 5. These opinions are very just. 6. Those kinsmen are friendly to these men.

6. The Determinative Pronoun.

(I. G. page 47.)

ὁ αὐτός *contracted* (with crasis of vowels).

	MASCULINE.	FEMININE.	NEUTER.
Sing.			
Nom.	αὐτός	αὐτή	ταὐτόν } ταὐτό
Acc.	τὸν αὐτόν	τὴν αὐτήν	ταὐτόν }
Gen.	ταὐτοῦ	τῆς αὐτῆς	ταὐτοῦ
Dat.	ταὐτῷ	ταὐτῇ	ταὐτῷ
Plur.			
Nom.	αὐτοί	αὐταί	ταὐτά
Acc.	τοὺς αὐτούς	τὰς αὐτάς	ταὐτά,
Gen.	τῶν αὐτῶν	τῶν αὐτῶν	τῶν αὐτῶν
Dat.	τοῖς αὐτοῖς	ταῖς αὐταῖς	τοῖς αὐτοῖς
Dual.			
N. A.	ταὐτώ	ταὐτά	ταὐτώ
G. D.	τοῖν αὐτοῖν	ταῖν αὐταῖν	τοῖν αὐτοῖν

Similarly ὁ ἕτερος | ἡ ἑτέρα | τὸ ἕτερον, contracted into ἅτερος | ἀτέρα | θάτερον, *one of the two*, acc. τὸν ἕτερον, &c., gen. θατέρου | τῆς ἑτέρας | θατέρου.

Exercise XXXI.

1. αὐτοὶ οἱ πολῖται (*or* οἱ πολῖται αὐτοὶ) ἦσαν τῇ πόλει πολέμιοι. 2. οἱ αὐτοὶ πολῖται ἦσαν τῇ πόλει πολέμιοι. 3. οἱ αὐτοὶ ἄνθρωποι οὐκ ἀεὶ ταὐτὰ φεύγουσιν. 4. ταὐτὰ οὐκ ἔστι λυπηρὰ πᾶσιν ἀνθρώποις. 5. ἡμῖν τε καὶ ὑμῖν αὐτὸς ἄνθρωπος φίλιός ἐστι. 6. ἡ ὁδὸς αὐτὴ συντομωτέρα ἐστίν, κίνδυνος δὲ μείζων. 7. ταὐτὰ τὴν αὐτὴν ὄνησιν οὐκ ἀεὶ φέρει. 8. τῆς αὐτῆς ἡμέρας ὁ αὐτὸς πολίτης τὸν αὐτὸν ἄνδρα σώζει. 9. τὴν ἐπιστολὴν αὐτὴν δίδωσι ταὐτῷ ἀνθρώπῳ. 10. ὁ Κῦρος αὐτὸς δίδωσι ταῦτα τὰ θηρία τῷ πάππῳ.

Digitized by Google

1. Good men admire virtue itself. 2. All men have not the same virtue (there is not the same virtue to all men). 3. On the same day the same man twice gives the same gifts. 4. The same men do not always admire the same things. 5. This letter he gives to the women themselves. 6. The grandfather himself gives these gifts to Cyrus. 7. In the same island there are many fountains, but the water itself is unwholesome. 8. The same birds have not always the same feathers. 9. The laws of this city are serviceable to the wealthy, but troublesome to the poor. 10. The citizens themselves flee-from their cities.

7. The Relative, Interrogative, and Indefinite Pronoun.

(I. G. pages 48, 49.)

1. Relative, ὅς, ἥ, ὅ, *who, which.*
2. Interrogative, τίς, τί, *who, what?*
3. Indefinite, τὶς, τὶ, *any one, some one, anything, something.*
4. ὅστις, ἥτις, ὅ τι, *whosoever, whatsoever,* is a relative pronoun, compounded of ὅς and τὶς.

Exercise XXXII.

1. τίνα οἱ πολῖται θαυμάζουσι;* θαυμάζουσι τὸν ἀγαθόν. 2. ἐκεῖνος ὀλβιώτατος, ᾧ ἡ ἀρετὴ λώων ἐστὶ τοῦ βίου. 3. εἰσιν ἄνθρωποί τινες, οἷς ἐστι παμπόλλη τύχη. 4. τίσιν ἦν μείζων δόξα ἢ τοῖς Ἀθηναίοις; 5. ὀλβιώτατοι, οἵτινες φεύγουσι τὰ κακά. 6. τί μέλιτος γλυκύτερον, καὶ τί ἰσχυρότερον λέοντος; 7. ἐν ταύτῃ τῇ νήσῳ νεώς τίς ἐστι. 8. πατρίδος τίνος ἐστὶ καὶ πόλεως τίνος ὁ ἀνήρ; 9. τί ἦν τὸ τῆς Σφιγγὸς αἴνιγμα; 10. ψευδίστατος, ὅστις οὐ θαυμάζει τἀληθές.

1. Who is happier than the father of good children? 2. (He is) the happiest, to whom the gods are propitious. 3. There-is a certain island, which all sailors avoid. 4. The words of the citizens were as-follows (*use* ὅδε): what is sweeter than honey, what is stronger than a lion? 5. Of what cities, and of what native-land are these sailors? 6. What way is the shortest? 7. He (οὗτος) who has intelligence (*say* to whom (ὅστις) there is intelligence) bears good-fortune most easily. 8. He is most hateful to the brave (ἀγαθός) who (ὅστις) is both cowardly and boastful. 9. What is this land, and who are these? 10. There are some arts which all men admire, whosoever at-least (γε) has intelligence.

* In Greek the semicolon is used only to mark a question.

Digitized by Google

THIRD GENERAL EXERCISE.—(Exercises XXIII.-XXXII.)

1. αὕτη ἡ χώρα φέρει (produces) χρυσόν τε πολλὸν καὶ ἐλέφαντας, καὶ δένδρα πάντα ἄγρια, καὶ ἄνδρας μεγίστους καὶ καλλίστους καὶ μακροβιωτάτους. 2. οἱ Ἀσσύριοι ἔχουσιν ἱππεῖς οὐκ ἐλάττους δισμυρίων, ἅρματα διακόσια. 3. ταχὺς γὰρ Ἅιδης (death) ῥᾷστος ἀνδρὶ δυστυχεῖ 4. τὰ δώδεκά ἐστι δὶς ἕξ, τρὶς τέτταρα, ἑξάκις δύο, τετράκις τρία. 5. οἱ ἁπλούστατοι λόγοι πολλάκις κράτος μέγιστον ἔχουσιν. 6. πάντες οἱ γονεῖς θαυμάζουσι τοὺς ἑαυτῶν παῖδας. 7. ἡμῖν τε καὶ ὑμῖν πολλαὶ καὶ μεγάλαι λύπαι εἰσίν· ὁ δὲ χρόνος ἰατρὸς πασῶν τῶν λυπῶν. 8. οἱ μὲν ἄνδρες τὰς λύπας βαρύτατα φέρουσι, αἱ δὲ γυναῖκες κουφότατα. 9. οἱ μὲν ἀκρατεῖς ἑαυτοῖς τε καὶ ἀλλήλοις ἔχθιστοι, οἱ δὲ ἐγκρατεῖς φιλιώτατοι. 10. ἐν ταὐτῇ πόλει ἄνδρες εἰσίν, οὓς οἱ πολῖται αὐτοὶ θαυμάζουσι.

1. These men are very false and most intemperate, but their wives are very prudent and very wise. 2. The slaves willingly (*adj.*) bring both wine and food as quickly as possible. 3. The number of the army was 24,000 heavy-armed, 700 horsemen, 70 chariots. 4. Kinsmen are the (*say* are both the) best friends and the worst (most hostile) enemies to one another. 5. Of the seven daughters, six * (*say* the six) were very bad, but the seventh was very good. 6. Of those men, the first * has one son; the second,* one daughter; the third * (has) four daughters. 7. The Assyrians themselves have (of) chariots * not less than 400, and (of) horsemen 30,000. 8. These men are most serviceable to us, but to you and to your children (they are) most formidable. 9. Who is this man? and what is the cause of these words? 10. To whomsoever (*pl.*) that-which-is (*τό*) honourable is dear, to them the gods are propitious; but to whomsoever (*sing.*) that-which-is bad is pleasanter, to him (they are) most hostile.

The Auxiliary Verb εἰμί, *I am.*

(I. G. page 55.)

EXERCISE XXXIII.

Indicative Mood.

1. ὦ θεοί, ὑμεῖς μέν ἐστε ἀθάνατοι· ἡμεῖς δὲ θνητοί ἐσμεν. 2. ἡ ταχεῖα Ἶρις καὶ ὁ Ἑρμῆς ἤστην ἀγγέλω τῶν θεῶν. 3. οἱ σοφοὶ ἀεὶ ἔσονται εὐδαιμονέστεροι τῶν ἀμαθῶν. 4. πάντων τῶν ἀνθρώπων τλημονέστατος καὶ ἀθλιώτατός εἰμι. 5. οἱ σώφρονες τῇ πόλει ὠφέλιμοι ἔσονται. 6. παῖδες, ἄφρονες ἦστε, νῦν δὲ ἔσεσθε

* Use μέν and δέ.

Digitized by Google

σώφρονες. 7. ῥῆτορ, διδάσκαλος τῆς πόλεως ἔσῃ. 8. ἡμεῖς μὲν τῆς πατρίδος ἐσόμεθα σωτῆρες, σὺ δὲ προδότης εἶ. 9. νῷν ἔσται καταφυγή. 10. μακάριοι ἦτε, νῦν δὲ ἄσωτοί ἐστε.

1. Iris, thou art the messenger of the gods. 2. We were accursed, but now we are happy. 3. You-two were unfortunate, but we-two were fortunate. 4. The poets were mortal, but their poems are immortal. 5. The intemperate will always be senseless. 6. We are friends of the gods. 7. The gods will always be propitious to you. 8. You-two are never idle, you will never be ignorant. 9. Thou wast an enemy to us, but now thou art a friend. 10. Ye accursed-ones (*masc. pl.*) will never be happy.

EXERCISE XXXIV.—(I. G. pages 55, 56.)

Imperative and Optative Moods, and Participle.

1. τοιοῦτοι ὄντες, μακάριοι οὔποτ' ἔσεσθε. 2. ἐμοὶ πιστοὶ φίλοι εἶεν μᾶλλον ἢ κόλακες. 3. πένητες ὄντες, ἐλεύθεροι ἐστέ. 4. ἔντιμος εἴην μᾶλλον ἢ κακήγορος. 5. ἡμῖν οἱ ἀγαθοὶ φίλοι ἔστων. 6. μή σοι τὰ πονηρὰ κέρδη φίλ' (*for* φίλα) ἔστω. 7. ἀεὶ εὐδαίμονες εἶητε, φίλτατοι. 8. ὦ φίλτατε, εὐδαίμων εἴης, ἵλεώ σοι εἶεν οἱ θεοί. 9. μή μοι ὁ ἀνὴρ ἀτιμώρητος εἴη, αἴτιος ὢν φόνου. 10. τοιαύτη ἡ γυνὴ ἔστω, τῆς ἀληθείας φίλη.

1. Since-he-is (*say* being) such, let him be most hateful to the good. 2. Let children be fond of truth. 3. May God not be hostile to me, but propitious. 4. These men, though-they-are (*say* being) unfortunate, are honourable and dear to the gods. 5. Women who-are (being) slanderers are wicked. 6. Many (men) who-are (being) wealthy are not fortunate. 7. Since-he-is (being) guilty of this murder, let him be accursed. 8. Be-thou very poor rather than unjust. 9. O dearest children, may you be happy. 10. Friends who are (being) faithful are never slanderers.

Exercises on the Active Voice of Verbs in Ω Uncontracted.

1. PRESENT AND IMPERFECT TENSES.

(I. G. pages 58–59 and 77.)

EXERCISE XXXV.

The Indicative and Imperative Moods.

Note carefully the observations on the Augment, page 84.

A.—1. τὴν πατρίδα σώζομεν. 2. γεωργοῦ τινος παῖδές ποτ' ἐστασίαζον. 3. σὺ γὰρ ἀληθῆ λέγεις. 4. ὁ δεσπότης ἐθαύμαζε

Digitized by Google

τὴν ἀνδρείαν τοῦ δούλου. 5. πολλοὶ ἄφρονες πλοῦτον ἔχουσι, τὸν δὲ ἄφρονα πάντες ἐχθαίρετε. 6. λέγουσιν αἱ γυναῖκες, Ἀνακρέων, γέρων εἶ. 7. τὼ ποιμένε τῆς φωνῆς ἐκλυέτην. 8. σφὼ ἡμῶν οὐκ ἐφροντίζετον. 9. σὺ μὲν ἐμὲ διέβαλλες, ἐγὼ δέ σοι ἐπεβούλευον. 10. κλύετέ μου· παῖδες τῶν γονέων φροντιζόντων.

1. Ye are-saving your country and your friends. 2. The two leaders were-at-variance. 3. Let all (men) speak the truth (true things). 4. The masters were-admiring the bravery of the slaves. 5. (We) all care-for the good (*pl.*), but hate the bad. 6. You-two were-plotting-against the ruler of the city. 7. Let all men care for the gods. 8. When the witnesses were-calumniating us, we were-plotting-against the rulers. 9. Let the child care-for his father. 10. The husbandman was-fleeing-away, the enemy (*pl.*) was approaching.

The Subjunctive and Optative Moods.

(*I. G. pages* 58, 59, 80.)

Subjunctive Mood.

The Subjunctive expresses what *ought to* take place; it always refers to present or future time. Hence it is used in the following cases:—

(1.) As *an exhortation* in the first.person: as, ἴωμεν, *let us go* [*eamus*].

(2.) With the negative μή in *prohibitions*, and in negative admonitions: as, μὴ τοῦτο ποιήσῃς, *ne hoc feceris, do not* (or, *you ought not to*) *do this.*

(3.) In *hesitating questions and deliberation*, where it is asked what should be done: as, τί φῶ; *what am I to say?* also

(4.) With μή in sentences expressing *fear* or *anxiety*: as, μὴ ἀγροικότερον ᾖ τὸ ἀληθὲς λέγειν, *if it be not somewhat rude to say the truth.*

B.—1. ταῦτα λέγομεν, ἵνα μανθάνωμεν. 2. ταῦτα ἐλέγομεν, ἵνα χαίροιτε. 3. μὴ τὰς τῶν πολεμίων οἰκίας κατακαίωμεν.* 4. ποῖ τὰς γυναῖκας ἄγωμεν;† οὐκ ἔστιν ἀσφαλὴς καταφυγή. 5. οἱ στρατιῶται τοὺς νεκροὺς ἔθαπτον, ἵνα τὴν νόσον ἀποτρέποιεν. 6. ἀποτρέποις,‡ ὦ Ζεῦ, τὸ δεινὸν ἀπὸ τῆς πατρίδος. 7. οἱ Ἀθηναῖοι τὰς οἰκίας πάσας κατακαίουσιν, ἵνα τὴν πατρίδα σώζωσι. 8. φεύγωμεν,

* Like Latin *ne* with subjunctive.
† On the use of the subjunctive in deliberation, see above (3).
‡ On the use of the optative expressing a wish, see I. G. i., Rule 16, page 56.

Digitized by Google

ὦ στρατιῶται, ἵνα τὰς οἰκίας καὶ τὰς γυναῖκας φυλάττωμεν. 9. οἱ γεωργοὶ κύνας ἔτρεφον, ἵνα τὰ θηρία θηρεύοιεν. 10. ὁ ποιμὴν τοὺς λύκους θηρεύει, ἵνα τὰ πρόβατα σώζῃ.

1. We are-doing these-things, in-order-that we may rejoice. 2. We were-doing these-things, in-order-that ye might rejoice. 3. Let-us* not care-for evil men. 4. Whither are-we-to-flee,† soldiers? 5. The soldiers are-burying the dead (*pl.*), in-order-that they may avert the disease. 6. May the gods avert ‡ the danger from the house. 7. The Athenians were-burning the ships of the enemy (*pl.*), in-order-that they might save their country. 8. Let-us-rejoice, companions; the gods are-guarding us. 9. The husbandmen rear-up dogs, in-order-that they may hunt the wild-beasts. 10. The good shepherd guards his sheep, in-order-that the master may rejoice.

Infinitive Mood and Participle.

(I. G. page 81.)

RULE.—The article before the infinitive turns it into a noun: as, *τὸ μισεῖν, hating* or *hatred.* It thus becomes declinable, and answers to the Latin Gerund: as, *ἐπιθυμία τοῦ πιεῖν, desire of drinking.*

C.—1. *οὐκ ἤθελον ἐπιστολὴν γράφειν. 2. ὁ ἡγεμὼν τοὺς στρατιώτας κελεύει τὸ στρατόπεδον φυλάττειν. 3. οἱ τὸ στρατόπεδον φυλάττοντες στασιάζουσιν. 4. οὐ πάνυ ἡδεῖά ἐστιν ἡ ἀλήθεια τοῖς ἀκούουσιν. 5. τὸ μὲν λέγειν ῥᾴδιόν ἐστι, τὸ δὲ πράττειν χαλεπώτατον. 6. οἱ κακοὶ ἐχθαίρουσι τοὺς καλῶς πράττοντας. 7. οὐκ ἐθέλεις κλύειν τῶν τάδε λεγόντων. 8. ὁ ἡγεμών, πολλὰ κελεύων, τοὺς ἀποφεύγοντας σώζει. 9. τῷ μανθάνοντι τὸ κλύειν ἐστὶ χρηστόν. 10. οἱ μανθάνοντες θαυμάζουσι τὰ Ὁμήρου ἔπη.*

1. Thou wast-not-wishing to learn the words of the poets. 2. The teacher orders the boy to write the letter. 3. The leaders of those-who-are-guarding (*use participle*) the camp are-at-variance. 4. Not altogether pleasant is the truth to him-who hears (it) (*use participle*). 5. The saying (*use infinitive with article*) is easier than the doing. 6. The bad (man) hates him-who does well (*use participle*). 7. The pupil (*say* he-who learns) wishes to hear him-who says (*use participle*) wise things (*neut. pl.*). 8. The two-leaders, by issuing these orders (*say* ordering these things), save the-men-who bring (*use participle*) the food. 9. To those-who

* Like Latin *ne* with subjunctive, see page 25.
† On the use of the subjunctive in deliberation, see page 25.
‡ On the use of the optative expressing a wish, see I. G. i., Rule 16, page 56.

Digitized by Google

learn (*participle*), the words of those-who speak (*participle*) well are useful. 10. The words of Homer are dear to the pupil (*say* to him who learns).

2. The Future and First Aorist.

Exercise XXXVI.—(I. G. page 81.)

Stems ending in a Vowel.

A.—1. ὁ Κῦρος τοῖς αὐτοῦ ταξιάρχοις ἐμήνισε. 2. οἱ Ἀθηναῖοι ἐστράτευσαν ἐπὶ (against) τοὺς Πέρσας. 3. ποῖ με πορεύσεις; 4. θεὸς ἐπόρευσέ σε εἰς κλύδωνα μέγαν κακῶν. 5. οἱ Λακεδαιμόνιοι τοὺς ἄλλους Ἕλληνας βοήθειαν πέμπειν ἐκέλευσαν. 6. τὸν μηνυτὴν λύσαντες, εἰς τὴν οἰκίαν εὐθὺς ἦγον. 7. οὔποτε ταῖς ἐπιθυμίαις δουλεύσομεν. 8. οἱ ἀγαθοὶ πολῖται τοῖς νόμοις ἀεὶ δουλεύσουσι. 9. τοῖς ἐμοῖς λόγοις πίστευσον, ὦ φίλτατε. 10. ὦ παῖδες, τῶν διδασκάλων ἀκούσατε.

1. The captains were-wroth-against the soldiers. 2. Do not be-wroth-against me, oh (my) friend. 3. The Lacedaemonians will march against (*use ἐπί with acc.*) the Athenians. 4. Whither will ye carry me, oh (ye) gods? 5. The god will carry thee into a sea (*say* wave) of great troubles. 6. They immediately loosed the informer. 7. Oh, my boy; trust not the words of the wicked. 8. The good citizen will be-subject-to the laws of his country. 9. Trust ye the words of the seer. 10. The judge, on-hearing (1 *aorist particip.*) the informers, was wroth-against the witnesses.

Rule.—Some verbs, especially those of *asking*, *teaching*, and *concealing*, take a double accusative, viz. both of the *person* and the *thing*: as, *κρύπτειν τί τινα, to conceal a thing from a person; μὴ τόδε με κρύψῃς, do not conceal this thing from me.*

B.—1. νεφέλη δὲ τὴν θεὰν ἀμφεκάλυψεν. 2. Πολυνείκους νεκρὸν Ἀντιγόνη ἔκλεψε καὶ ἔθαψε. 3. τείχεσι χαλκοῖς καὶ ἀδαμαντίνοις τὴν χώραν ἐτείχισαν. 4. τὴν θυγατέρα κρύψει τὸν θάνατον τοῦ ἀνδρός. 5. οὐκ ἔστι (it is not the part) δικαίου ἀνδρὸς βλάψαι τὸν φίλον. 6. τοῦτον ἐκέλευσε φυλάξαι τήν τε γυναῖκα καὶ τὴν σκηνήν. 7. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους. 8. τί οὐκ ἔρριψα ἐμαυτὸν τῆσδε ἀπὸ στυφλοῦ πέτρας; 9. Πρόκνη ἡ Τηρέως γυνὴ Ἴτυν τὸν παῖδα ἔσφαξε. 10. ἡμεῖς τοὺς στρατιώτας πολλάκις ἐδιώξαμεν.

1. Clouds enfolded the island. 2. Antigone, after-stealing (1 *aor. part.*) the dead-body (*νεκρός*) of her brother Polynices, buried (it).

Digitized by Google

3. He will fortify the city with a wall (*dat.*) of-bronze and adamant (*adj.*). 4. He concealed the death of the daughter from her father. 5. Just men will not injure their friends. 6. After-concealing (*aor. part.*) the man he guarded the tent. 7. Why did you not turn-inside-out your manners? 8. Throw thyself as quickly-as-possible from these rugged rocks. 9. Procne being-wroth-against (*aor. part.*) Tereus slew her-own son Itys. 10. It is not the-part (*ἔστι with gen.*) of a prudent man to-be-subject to evil (*neut. pl.*): he will always pursue the good (good things).

Liquid stems, λ, μ, ν, ρ.

(I. G. page 83.)

C.—1. ὁ Κῦρος ταῦτα ἀκούσας, ᾤκτειρεν αὐτόν. 2. οἱ Ἀθηναῖοι ναῦς ἔστειλαν εἴκοσι. 3. οὗτοι δὲ ἡμῶν ἄπειροι ὄντες οὐχ ὑπομενοῦσι. 4. ὁ Κάδμος τοὺς τοῦ δράκοντος ὀδόντας ἔσπειρεν ἐν τῇ ἰδίᾳ γῇ. 5. ὥσπερ σὺ κρίνεις τοὺς ἄλλους, οὕτω καὶ (also) σὲ κρινεῖ ὁ Θεός. 6. τοὺς λόγους μακροτέρους (to a greater length) μηκυνοῦμεν. 7. ὁ στρατηγὸς τὸν κήρυκα ἔπεμψεν ἐπαγγελοῦντα (to announce*) τὴν νίκην. 8. οἱ ἀγαθοὶ παῖδες τοὺς γονεῖς οὐκ ἀλγυνοῦσιν. 9. ὁ ταξίαρχος τὸν στρατιώτην συλλαμβάνει, ὡς (intending to) ἀποκτενῶν. 10. ἐπάρας τὴν φωνὴν ἐπήγγειλε πόλεμον.

1. And the generals, on-hearing (1 *aor. part.*) these things, pitied the soldiers. 2. The master will pity his slave. 3. The Lacedaemonians will equip one ship. 4. The husbandmen sowed the fields. 5. For as you (*pl.*) judge others, so also (*καί*) the gods will judge you. 6. Do not lengthen (1 *aor. subj.*) your speeches further (longer). 7. The kings sent the heralds to report (*fut. part.*) the victory. 8. It is not (the part) of good children to pain their parents. 9. It is difficult to report misfortune to one's (*use article*) friends. 10. The father seizes his daughter with-the-intention-of (*ὡς with fut. part.*) killing (her).

3. First Perfect and Pluperfect Tenses.

Exercise XXXVII.—(I. G. page 84.)

Stems ending in a Vowel.

A.—1. οἱ στρατιῶται πολλὰ κεκινδυνεύκασι. 2. πεπίστευκα τῇ ὑμῶν εἰς (towards) ἐμὲ εὐεργεσίᾳ. 3. τὸν νεκρὸν ἐλελούκειτε. 4. ὁ τῶν πονηρῶν βίος πᾶσαν πίστιν κατελελύκει. 5. τὰ δένδρα

* The future participle is used, as in Latin, with a final sense.

Digitized by Google

τάδε ἐν τῇ νήσῳ πεφυτεύκαμεν. 6. τὴν θυγατέρα πεφονευκώς, ὁ πατὴρ τὸν νεκρὸν ἔκρυψε. 7. λεοντῆν ἐνεδεδύκεσαν. 8. οἱ Σκύθαι ἵππους τῷ ἡλίῳ τεθύκασι. 9. ἑκατὸν βοῦς τοῖς θεοῖς τεθυκότες, τὴν γυναῖκα ἀπέκτειναν. 10. Πρόκνη τὸν παῖδα πεφονευκυῖα ἔχαιρεν.

1. The Lacedæmonians had risked many (dangers). 2. We had trusted the words of the orator. 3. I have washed the dead bodies. 4. He had planted many trees in the woods. 5. The words of the witnesses have destroyed all the faith of men. 6. Having slain the daughter the mother rejoiced. 7. I have put on the lion's skin. 8. In this country they had sacrificed horses to their god. 9. Having-put-an-end-to the war, we sacrificed two-hundred oxen to the god. 10. We have always trusted your kindness towards (εἰς) us.

Stems ending in a Labial, Guttural, or Dental Mute.

B.—1. ἑκόντες ἐς ἕδωρ ψυχρὸν ἐῤῥίφασι σφᾶς αὐτούς. 2. ὁ ἀνὴρ τὸν δίσκον ἐῤῥίφει. 3. οἱ Ἀθηναῖοι τὸ ἔρυμα ἐτετείχεσαν. 4. τὰ κακὰ δεδίωχε μᾶλλον ἢ τὰ καλά. 5. οἱ Θηβαῖοι τὰ τῶν ἄλλων Βοιωτῶν τείχη κατεσκάφασι. 6. ἡμεῖς τοὺς στρατιώτας ἐτετάχειμεν. 7. σφὼ οἶνον τοῖς ἱεροῖς θεοῖς ἐλελείφειτον. 8. τὼ ἥρωε τὸν ἀγαθὸν ἑταῖρον ἐτεταφείτην.* 9. οἱ ναῦται κάλως πεπλέχασι. 10. τοὺς νεκροὺς τεταφότες οἶνον τοῖς θεοῖς ἔλειψαν.

1. She has thrown herself from the rugged rock. 2. The heroes had thrown the quoits. 3. The soldiers, having fortified the camp, kept-off the enemy (*pl.*). 4. He had always pursued pleasure rather than reputation. 5. The general has posted the Boeotians in the city. 6. The enemy (*pl.*) had razed-to-the-ground the fortifications of the camp. 7. The Thebans had buried the dead. 8. The two-sailors had plaited * the ropes. 9. The generals have poured wine to the sacred gods on account of the victory. 10. Xenophon had not written the name of the daughter of Agesilaus.

Stems ending in a Dental Mute or a Liquid.

NOTE.—The monosyllabic stems in λ, ν, ρ, having ε in the stem syllable, change this ε in the first perfect into α: as, stem στελ, στέλλω, I send, perf. ἔσταλκα.

C.—1. ὁ θεὸς μέγα νεῖκος πολέμου κέκρικε. 2. οἱ ἄνθρωποι σῖτον ἐσπάρκασιν ἐν πολλαῖς χώραις. 3. οἱ ἡγεμόνες ἀπεστάλκεσαν

* It is important to observe the change from τον to την in the dual; this change occurs in the historical tenses of the Indicative mood and throughout all the tenses of the Optative mood.

Digitized by Google

τὸν κήρυκα ἐκ τῆς πόλεως. 4. οἱ κακοὶ νομεῖς τὰ μῆλα ἐφθάρκεσαν. 5. τὼ νομέε τὰ μῆλα σεσώκατον. 6. τὼ ἡγεμόνε τὴν τῶν στρατιωτῶν ἀνδρείαν ἐτεθαυμακείτην. 7. ἀπέσταλκας ἐμοὶ δῶρα πολλά τε καὶ μεγάλα. 8. οἱ γεωργοὶ σῖτον ἐν τῇ νήσῳ ἐσπάρκεσαν. 9. τὸ τῶν πολεμίων στρατόπεδον ἐφθάρκειμεν. 10. τὴν σκηνὴν χρυσῷ τε καὶ ἀργύρῳ κατεσκευάκασι.

1. The gods had decided (κρίνω) great quarrels among (*say* of) men. 2. The husbandmen had sown corn in their fields. 3. I have sent to thee (*dative*) a hundred talents. 4. The two-judges (*dual*) have decided best. 5. The two-bad shepherds had destroyed the sheep. 6. We had fortified the walls of the city. 7. The citizens have admired the words of the orator. 8. Ye have sent us two hundred darics. 9. We have destroyed the ships of the enemy (*pl.*). 10. They had furnished the ships of the merchants both with wine and corn.

4. Second Perfect and Pluperfect, and Second Aorist Tenses.

Exercise XXXVIII.—(I. G. page 87.)

1. αὐτὸς σὺν τοῖς ἵπποις καὶ τοῖς ἅρμασι κατέφυγεν ὁ Ἀσσύριος. 2. ὁ πατὴρ ἀποθνήσκων τῷ παιδὶ τόξευμα κατέλιπε. 3. οἱ ναῦται ἔτυπον ἅλα ἐρετμοῖς. 4. τὸ παῖδε τὸν ἵππον μάστιγι ἐτυπέτην. 5. ὁ στρατηγὸς τὸν στρατὸν ἀπέβαλε. 6. τὰ μικρὰ ἐσώσατε, τὰ δὲ μείζονα ἀπεβάλετε. 7. οἱ Ἀθηναῖοι τοὺς ἀγροὺς κατέλιπον. 8. φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον. 9. πᾶσιν λυπηρόν ἐστιν ἐκ τῆς πατρίδος φυγεῖν. 10. οἱ στρατιῶται τὰς ἀσπίδας ἀποβαλόντες, εἰς τὴν πόλιν κατέφυγον.

1. But (we) ourselves fled-for-refuge into the camp. 2. The parents at-their-death (*say* dying) bequeathed to their children self-respect (αἰδώς), not gold. 3. Those who were-dwelling-in (*use part.*) the country fled into the city. 4. The sailor struck the sea with his oar. 5. The soldiers cast-away (ἀποβάλλω) their shields. 6. The general invaded the country. 7. It is better to save life than to lose (it). 8. It is hard for old-men (*dat.*) to change their mode-of-life. 9. The men having left-behind-them (*aor. part.*) their property, fled from their country. 10. It is a most disgraceful thing for soldiers to cast-away their shields.

Note.—The following changes of vowels should be observed in the formation of the Second Perfect—

ᾰ after ρ becomes ᾱ: stem κραγ, pres. κράζω, I scream, perf. κέκρᾱγα.

Digitized by Google

ᾰ otherwise becomes η: stem πλάγ, pres. πλήσσω, I strike, perf. πεπληγα.—Stem φαν, pres. φαίνω, I show, perf. πέφηνα.
ε becomes ο: stem στρεφ, pres. στρέφω, I turn, perf. ἔστροφα.
ι becomes οι: stem λιπ, pres. λείπω, I leave, perf. λέλοιπα.
υ often becomes ευ: stem φυγ, pres. φεύγω, I flee, perf. πέφευγα.

EXERCISE XXXIX.

1. οἱ δεσπόται τοὺς τῆς πόλεως νόμους ἐφθόρασι. 2. ἐγὼ μὲν εὖ πέπραγα, σὺ δὲ κακῶς πέπραγας. 3. ὁ στρατιώτης τὴν τάξιν λέλοιπεν. 4. ἡμεῖς δὲ ἀθλιώτατοι ἐκ τῆς πόλεως πεφεύγαμεν. 5. τὼ ἄνδρε κεκράγετον. 6. τὼ παῖδε κεκραγότε ἐφυγέτην. 7. ὁ ἡνίοχος τοὺς ἵππους πέπληγε. 8. τοὺς ἵππους τῇ μάστιγι πεπλήγατε. 9. τὸν ἄνδρα σὺν δίκῃ ἀπεκτόνει. 10. οἱ πολέμιοι κεκραγότες ἀπεπεφεύγεσαν.

1. I have struck (πλήσσω) thee, and thou hast cried-out. 2. But you who-had-fared (*part.*) well were rejoicing. 3. This man has destroyed all friendship. 4. Ye have left no honour (remaining). 5. But the greatest cowards (*say* the most cowardly, κακός) had fled away out-of the battle. 6. All have fled crying-out (*2nd perf. part.*). 7. The charioteers had struck (πλήσσω) the horses. 8. He has killed thee with justice. 9. He has utterly destroyed (διαφθείρω) all hopes. 10. The Athenians, trusting (*perf. part.* πείθω) to the counsel and opinion of Themistocles, had abandoned their city and fled away to their ships.

FOURTH GENERAL EXERCISE.—(Exercises XXXIII.–XXXIX.)

1. τὸ ἥμισυ τοῦ στρατεύματος κατέλιπε φυλάττειν τὸ στρατόπεδον. 2. οἵδε μέν εἰσιν οὓς σὺ τρέφεις φυλακῆς ἕνεκα σαυτοῦ τε καὶ τῶν σῶν. 3. τὼ ξένω τώδε, Γοργίας τε καὶ Πῶλος, σοφὼ μὲν καὶ φίλω ἐστὸν ἐμώ, ἐνδεεστέρω * δὲ παῤῥησίας. 4. ἐμοὶ δὲ πέμποντι ἀναθήματα χρυσᾶ, πολλὰ δὲ ἀργυρᾶ, πάμπολλα δὲ θύοντι οἱ θεοὶ ἵλεῳ ἦσαν. 5. τὸν Δία πατέρα ἀνδρῶν τε καὶ θεῶν ὠνόμαζον οἱ ποιηταί. 6. Κύρῳ ἦν παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν. 7. Λακεδαιμόνιοι τριακοσίους εἰς Θερμοπύλας ἔπεμψαν. 8. ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι τούτῳ ἐπιβουλεύουσιν. 9. οἱ ἐν τῇ πόλει ταύτῃ κατοικοῦντες ἐπεφεύγεσαν εἰς Πελοπόννησον. 10. τὰς ἡμισείας (ναῦς) τῶν νεῶν ἔστειλαν.

1. The Greeks used-to-call all others barbarians. 2. Most cities rear soldiers for-the-sake-of keeping-guard over (*say* of) their

* *Somewhat deficient in.* The Greek comparative, like the Latin, has sometimes this sense of *somewhat, rather.*

Digitized by Google

country. 3. These men are most false and most rapacious, but are most deficient in-courage (*gen.*). 4. The Athenians, trusting (*perf. part.*) to Themistocles who-gave these orders (κελεύω *pres. part.*), have abandoned their-own city (of) Athens. 5. Cyrus has (*say* there is to Cyrus) a very large pleasure-ground, full-of various trees which he-himself has planted. 6. Stealing is a most disgraceful thing in (*say* to) men. 7. The Athenians sent (ἀποστέλλω) seventy ships. 8. The two generals were concealing the misfortune from their soldiers. 9. The temples were full-of the most beautiful offerings which these men have stolen. 10. The Lacedaemonians had sent ambassadors to the cities in Sicily.

Exercises on the Passive and Middle Voices of Verbs in Ω Uncontracted.

(I. G. pages 60–61.)

1. Present and Imperfect Tenses.

Exercise XL.—(I. G. page 89.)

Passive Voice.

A.—1. λέγεται δὲ αὕτη ἡ πόλις εἶναι μητρόπολις τῶν ἄλλων Αἰθιόπων. 2. τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι. 3. οἱ νεώτεροι παιδευέσθωσαν τῇ τῶν πρεσβυτέρων ἐμπειρίᾳ. 4. οἱ μηνυταὶ θανάτῳ ἐκολάζοντο. 5. τὸ κολάζεσθαι τῇ ψυχῇ ἄμεινόν ἐστι ἢ ἡ ἀκολασία. 6. οἱ Ἀσσύριοι ὑπὸ τῶν Ἑλλήνων βάρβαροι ἐνομίζοντο. 7. τὸ τύπτεσθαι ἐπὶ κόρρης ἀδικῶς οὐκ αἴσχιστόν ἐστι. 8. τὼ παῖδε ὑπὸ τοῦ πατρὸς ἐπαιδενέσθην. 9. ταῦτα ὑπὸ τῶν ἀγγέλων ἐπηγγέλλετο. 10. πότερος ἀθλιώτερός ἐστι, ὁ ἰατρευόμενος καὶ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ * ἰατρευόμενος, ἔχων δέ (*translate*, but is still afflicted by it);

1. The Lacedaemonians were said to be very brave. 2. To be punished is better for all than intemperance. 3. Let the soldiers be cured by the physician. 4. Good men were admired for their prudence. 5. Let the elder be admired by the younger. 6. It is not disgraceful to be struck unjustly. 7. Those who were-being-punished were being-struck. 8. The dead are buried by-embalming (*say* being embalmed). 9. Let the weaker be guarded by the stronger. 10. Whether-of-the-two is the more unfortunate, he who is-justly-punished (*pres. part.*), or the intemperate man who is not* (μή) punished (*pres. part.*)?

* The following distinction between οὐ and μή should be remembered by the pupil—

οὐ denies.	μή forbids.
οὐ denies *a fact.*	μή denies *a supposition*

Digitized by Google

Middle Voice and Deponent Verbs.

B.—1. οἱ πολῖται ἐβουλεύοντο καταλιπεῖν τὴν πόλιν. 2. ὁ ἵππος ἐπὶ (on) τὸ νῶτον δέχεται τὸν ἀναβάτην. 3. ἤκουσά ποτε Σωκράτους περὶ φιλίας διαλεγομένου. 4. πολλοὶ πάντων τῶν κερδῶν οὐκ ἀπέχονται. 5. τί οὐκ αὐτό μοι τοῦτο ἀπεκρίνου; 6. οἱ δὲ ἐν ταύτῃ χώρᾳ Δία θεῶν καὶ Διόνυσον μόνους σέβονται. 7. μαινόμεθα πάντες ὁπόταν ὀργιζώμεθα. 8. Ζήνων ὁ φιλόσοφος μεθης καὶ λαλιᾶς ἀπείχετο (*imperfect*). 9. πολυλόγων παρ' ἀνδρῶν προσδέχεσθε κακὴν συμβουλίαν. 10. γράμματα γράφουσι καὶ λογίζονται ψήφοισιν Ἕλληνες ἀπὸ τῶν ἀριστερῶν ἐπὶ (to) τὰ δεξιὰ φέροντες τὴν χεῖρα.

1. In-deliberating (*pres. part.*) quickly, we deliberate badly. 2. The two philosophers determined (*imperf.*) to abandon (2nd aor.) their country. 3. The horses receive their riders on (*ἐπί with acc.*) their backs. 4. We once heard the philosophers conversing concerning truth. 5. Men when-they-are-angry (*pres. part.*) are mad. 6. We worship God and not man. 7. Follow, dogs! 8. The citizens leave a great name to those who-follow (*pres. part.*). 9. The temperate abstain-from drunkenness, the prudent (abstain-from) gossip. 10. The Egyptians used-to-write (*imperf.*) letters and calculate with pebbles, carrying the hand from the right (-hand) (*plural*) to the left (-hand).

2. The Perfect and Pluperfect Tenses.

I. *Vowel stems.* II. *Mute stems.* III. *Liquid stems.*

(I. G. pages 90–92.)

Exercise XLI.

Passive and Middle.

Stems ending in a Vowel.

A.—1. οἱ ἐν βαλανείῳ λελουμένοι καθαροί εἰσιν. 2. τάδε τὰ δένδρα ὑπὸ τοῦ βασιλέως πεφύτευνται. 3. ἡμῖν οὔτε ἄστη οὔτε γῆ πεφυτευμένη ἐστίν. 4. τὰ ἱερεῖα τοῖς θεοῖς μάτην ἐτέθυτο. 5. οἱ ἱερεῖς τὰ τεθυμένα λαμβάνουσι. 6. οὐ βουλεύεσθαι ὥρα ἀλλὰ βεβουλεῦσθαι. 7. τὰ ἐμπόρια ἐκέκλειτο. 8. οἱ Ἕλληνες ναυσὶ τῶν πολεμίων κατακέκλεινται. 9. καλῶς, ὦ παῖ, ὑπὸ τῶν διδασκάλων ἐπεπαίδευσο. 10. πάντες εὖ πεπαιδεύσθων.

1. These men have been washed in the bath. 2. The pleasure-ground is full-of trees which-have-been-planted. 3. The island is

Digitized by Google

not bare, but well planted. 4. Many victims have been sacrificed to the sun. 5. The priests used-to-take (*imp.*) the flesh of the victims (*say* of those [animals] which had been sacrificed). 6. Let the trading-places be shut-up by our ships. 7. Those (men) who-have-deliberated (*part.*) well wish to guard the city. 8. The door has been shut in-vain. 9. These who-have-been-brought-up (*part.*) well by their parents, have been freed from evil (*pl.*). 10. It is a good thing to have been well brought-up.

Stems ending in a Mute and a Liquid.

B.—1. *αἱ σειραὶ ἐκ χρυσοῦ πεπλεγμέναι ἦσαν.* 2. *νυκτὸς αἱ γέφυραι κατεσκευασμέναι εἰσί.* 3. *οὗτοι τὸ αὐτὸ διαπεπραγμένοι εἰσί.** 4. *ὡς παρεσκεύαστο* (when preparations had been made), *Κῦρος ἐπὶ τὸν ἀδελφὸν ἐστρατεύετο.* 5. *τετάχθω ὁ τοιοῦτος κατὰ* (on the side of) *δημοκρατίαν.* 6. *τῇ σῇ ἀρετῇ καὶ τῇ σῇ φρονήσει σεσώσμεθα.* 7. *καταλέλειπτο ὑπὸ τῶν πολεμίων πολλὰ πρόβατα.* 8. *καὶ ἄλλας εὐλαβείας πρὸς* (in addition to) *ταύτῃ ἔσκεμμαι* (*used actively*). 9. *οἱ πεπιστευκότες πεπεισμένοι εἰσί.* 10. *τὰ τῆς πόλεως τείχη κατέσκαπται ὑπὸ τῶν πολεμίων.*

1. They prepare plaited (*πλέκω*) ropes. 2. Those men had accomplished * the same things. 3. When (*ὡς*) all things had been prepared, Xerxes sent heralds into all the cities of Greece. 4. Some work has been assigned to each of the citizens in the state. 5. The work which-has-been-assigned (*perf. part.*) to you has been badly done. 6. Thou hast been preserved by my valour and prudence. 7. Guard the ships which have been left by the sailors. 8. Thou hast devised all precautions (*see sentence* 8 *above*). 9. The soldiers have been buried in the camp. 10. The bridges had been fortified in the winter.

C.—1. *ἐν τοῖς Δράκοντος νόμοις μία ζημία ἅπασιν ὥριστο.* 2. *ἱερόν ἐστι θησαυροῖς καὶ ἀναθήμασι κατεσκευασμένον.* 3. *ὡρίσθω μέχρι τοῦδε* (*tr.* thus far and no farther). 4. *χρήσιμόν τι ἐσκεμμένος ἥκω.* 5. *οἱ στρατιῶται εἰς* (for the purpose of) *ἁρπαγὴν ἐσπαρμένοι ἦσαν.* 6. *στρατηγὸς πολλοῖς πέπαρται δόρασι.* 7. *ἡ στρατιὰ διέσπαρται.* 8. *ἐλπὶς μία πᾶσι βροτοῖς λέλειπται.* 9. *πάντα αἵματι ἐπέφυρτο.* 10. *οἱ εὖ πεπαιδευμένοι πολλῶν κακῶν ἀπηλλαγμένοι εἰσί.*

1. Seasons have been appointed to all (*use ἕκαστος in pl.*). 2. The whole speech has been spoken. 3. He that-is-dead (*τελευτάω, perf. act.*) has been freed-from troubles and ills (*κακόν*). 4. All possessions had been abandoned. 5. But the whole house has been

* The perf. pass. of *διαπράσσω* is sometimes used in an active sense.

Digitized by Google

defiled with blood. 6. Many children had been left-behind (λείπω). 7. All the soldiers had been pierced by the spears of the enemy (*pl.*). 8. Night does not conceal ill-deeds (*say*, things that have-been-badly-done). 9. A temple has been set-up to Athena by the Athenians. 10. Let him who has deliberated well (*part.*) be judged most prudent.

3. The First Future and First Aorist.

Exercise XLII.—(I. G. page 94.)

A.—1. ἑκάστῳ τῶν πολιτῶν τὸ ἴδιον ἔργον ἐτάχθη. 2. Νίνος ἡ πόλις ὑπὸ Νίνου, τοῦ τῶν Ἀσσυρίων βασιλέως, ἐκτίσθη. 3. Ὡρίων ὑπ' Ἀρτέμιδος ἐτοξεύθη. 4. ἀγὼν ὡς τάχιστα κριθήσεται. 5. Ἑλένη ὑπ' Ἀλεξάνδρου ἡρπάσθη. 6. τότε δὴ πάντες παῖδες ὑπὸ τοῦ σατράπου ἐφονεύθησαν. 7. οἱ Ἀθηναῖοι ἐτειχίσθησαν. 8. τοῦτο ἐν τῷ λόγῳ ἠναγκάσθημεν λέγειν. 9. οἱ ἐν τῇ πόλει (ὄντες) ναυσὶ κατεκλείσθησαν. 10. ταῦτα τὰ ἀγγέλματα τοῖς Σπαρτιάταις ἐπαγγελθήσεται.

1. The Greeks were shut-up in (*say* into) the island. 2. To each of the citizens in the city his-own (ἴδιος) work will be assigned. 3. The words were believed by all. 4. Orion, the hunter, will be slain-with-the-bow by Artemis. 5. The contest was easily decided (κρίνω) by the judge. 6. The women were carried-off by the men. 7. The two-children were slain by their mother. 8. The cities will be fortified. 9. Thou wilt be compelled to say the same things in thy speech. 10. The citizens were compelled to guard the city.

B.—1. ἀλλ' ἐὰν πολλάκις ταὐτὰ ταῦτα λέγωμεν, πεισθήσει. 2. στέφανοι ὑπὸ τῶν γυναικῶν ἐπλέχθησαν. 3. οἱ νόμοι ὑπὸ τῶν πολιτῶν λυθήσονται. 4. ἡ νῆσος ἀμφεκαλύφθη νεφέλαις. 5. ὦ Μήδεια, ἀδύνατόν ἐστι τοὺς φονευθέντας πρὸς τὸ φῶς ἀνάγειν. 6. ἡ πόλις ὑπὸ τῶν Λακεδαιμονίων κατελύθη. 7. εἴθε πάντες ἀναγκασθεῖεν τοὺς παῖδας καλῶς παιδεύειν. 8. μέγας φόβος τοὺς ναύτας ἔχει, μὴ αἱ νῆες καταλυθῶσιν. 9. ὁ δράκων, ὁ τοῦ τῆς Γῆς ἐν Δελφοῖς μαντείου φύλαξ, ἐφονεύθη ὑπ' Ἀπόλλωνος. 10. οἱ Ἕλληνες δὶς ἐκ τῶν μεγίστων κινδύνων ἐσώθησαν.

1. If you say these things well, I shall be persuaded. 2. The ropes will be plaited by the sailors. 3. When the laws were repealed (*gen. absolute, see Syntax*) the citizens rejoiced (*imp.*). 4. The father will be troubled respecting the death of his children. 5. When her child (*fem.*) was murdered, the mother was not troubled. 6. The treaties were violated by the enemy (*pl.*). 7. If

Digitized by Google

their father is willing (*gen. absolute*), the children will be well taught. 8. The son fears much (*say* a great fear holds the son) lest his father should be murdered (*subj.*). 9. When the bridges were destroyed (*gen. absolute*), the army was saved. 10. The oracle of Earth in Delphi was guarded by the dragon.

4. The Second Future and Second Aorist.

Exercise XLIII.—(I. G. page 95.)

1. οἱ Ἀθηναῖοι λέγονται διαφθαρῆναι ὑπ' ἐκείνου. 2. οἱ πολῖται καθ' (throughout) Ἑλλάδα ἐσπάρησαν. 3. Ἀρμένιος ἐξεπλάγη. 4. πολλὰ χρήματα ἐκλάπη. 5. Πτολεμαίου ὑπὸ Γαλατῶν σφαγέντος (*gen. absolute*), ἡ Μακεδονικὴ δύναμις κατεκόπη. 6. οἱ ποιηταὶ ἐν τῷ νεῷ ταφήσονται. 7. τὸ μὲν σφαγῆναι δεινόν (is a terrible thing), εὔκλειαν δ' ἔχει. 8. ἐν ταύτῃ τῇ ναυμαχίᾳ διεφθάρησαν νῆες τῶν Ἑλλήνων τεσσαράκοντα. 9. ἡ δὲ ψυχή, ἐπειδὰν ἀπαλλαγῇ τοῦ σώματος, ἔτι ἔστι (exists). 10. οἱ ἑταῖροι, τοῦ Ὕλου ὑπὸ Νυμφῶν ἁρπαγέντος, ἐξεπλάγησαν.

1. The ships of the Athenians were utterly-destroyed by the Peloponnesians. 2. The enemy (*pl.*) who-are-fleeing (*pres. part.*) will be scattered throughout (*κατά with accusative*) Greece. 3. The citizens were astounded (at) the treaties being violated (*use gen. absolute*). 4. The robber, having stolen the property (*say* the property being stolen, *gen. abs.*), paid the penalty. 5. Ptolemæus, the king of Macedonia, is said to have been slain by the Gauls. 6. The poets were buried in the temples. 7. The general has glory when the enemy (*pl.*) is routed (*gen. absolute*). 8. In this sea-fight all the ships of the Greeks will be utterly-destroyed. 9. The souls still live (*use εἰμί*) when they are freed-from their bodies. 10. Hylas will be carried-off by the nymphs on-account-of his beauty.

5. The Third Future or Future Perfect.

Exercise XLIV.—(I. G. page 96.)

1. μάτην τάδε πάντα πεπράξεται. 2. ἐμοὶ δὲ λελείψεται ἄλγεα (*for* ἄλγη) λυγρά. 3. σὺ χωρὶς τῶν ἄλλων λελείψει. 4. αἵματι παίδων οἶκος πεφύρσεται. 5. τότε δὴ κεκλείσεται ἡ θύρα. 6. αἱ νῆες κεραυνῷ πεπλήξονται.

1. This indeed will have been said and done most admirably (*use neut. sing. superlative of* καλός). 2. Many enjoyments will be left to you. 3. We shall be left without companions. 4. My hands will have been defiled (*say*, I shall have been defiled as-to-

Digitized by Google

my-hands *acc.*) with blood. 5. Then, indeed, the doors will have been shut: in vain shall I have wept (*say*, will it have been wept by me, *dat.*). 6. Thou wilt have been struck with a thunderbolt.

Exercises on the Middle Voice of Verbs in Ω.

(I. G. pages 62–63.)

1. Future.—(I. G. page 97.)

Exercise XLV.

1. περὶ τῶνδε βουλευσόμεθα. 2. τοῖς ἄρχουσιν ἀεὶ πείσει. 3. πᾶς τις (every one) θαυμάσεται ἀκούων ταῦτα. 4. ἐς βαλανεῖον ἦλθε* λουσόμενος† (with the intention of washing). 5. οὔποτε βουλήσεται ὁ ἄνθρωπος κακῶς πράττειν. 6. σκέψεται πότερον τοῦτον ἡγεμόνα (*translate* as leader) ἕξομεν. 7. οὔποτε παύσονται τοῦ φιλανθρώπου τρόπου. 8. πολλῶν πόνων παύσεσθε. 9. οἱ πολέμιοι ἐπὶ τὰς πόλεις στρατεύσονται. 10. ὑμῖν ἐλέγομεν ὅτι πορευσοίμεθα.

1. I will deliberate about these things. 2. Good men will obey their rulers. 3. We will cease saying such things. 4. I shall not admire men-who (*article*) say (*particip.*) such things. 5. Benevolent men will never wish to injure their friends. 6. We came (ἦλθομεν) to the bath with-the-intention-of washing ourselves (*see sentence* 4 *above*). 7. Thou wilt cease from thy (*say* the) villany. 8. We will spare these enemies. 9. The general said that (ὅτι) he would march against the city. 10. He will not cease from his benevolent ways (τρόπος *sing.*).

2. First Aorist.—(I. G. page 98.)

Exercise XLVI.

1. τοὺς πελταστὰς ἐδέξαντο οἱ βάρβαροι καὶ ἐμάχοντο. 2. ἀπόκριναι τί ἐστι τοῦτο. 3. ὁ Τάνταλος τοῦ σίτου οὐ δυνατὸς ἦν γεύσασθαι. 4. λογισώμεθα ὁπόσα μοι ὀφείλεις. 5. παύσασθε λέγουσαι. 6. ἐλογίσατο δώδεκα μνᾶς. 7. ἀνδρῶν Ἄρης ἐφείσατο. 8. ἐν τῷ ποταμῷ ἐλουσάμην. 9. τοῦτο νῦν σκεψώμεθα, ὦ φίλε. 10. τὼ ῥήτορε τὴν ἐμὴν ἀκολασίαν ἐμεμψάσθην.

* ἦλθον, 2nd aor. fr. ἔρχομαι, *I come.*
† λούω is *I wash*, λούομαι, *I wash myself.*

Digitized by Google

1. We ought to receive the enemy (*pl.*) bravely. 2. Let Gorgias answer. 3. Tantalus did not taste the food. 4. Reckon how much you owe us. 5. Cease speaking, lady. 6. I reckoned three minæ. 7. The brave man ought to repel his enemies. 8. Let us bathe (i. e. wash-ourselves) in yonder (ἐκεῖνος) river. 9. Now consider these things, my boy. 10. On account of these things thou didst blame my opinion.

3. Second Aorist.—(I. G. page 98.)

Exercise XLVII.

1. πιθοῦ τῷ πατρί σοι λέγοντι (when he speaks). 2. ποῖ τραπώμεθα, ὦ ἑταῖροι, ποῖ καταφύγωμεν; 3. Φίλιππος ἐν φόβῳ ἦν (was afraid), μὴ ἐκφύγοι τὰ πράγματα αὐτόν. 4. οἱ Ἡλίου ἵπποι ἐξετράποντο τῆς ὁδοῦ. 5. ἔλεγον Ἀρίστιππον τὴν Κυρηναϊκὴν φιλοσοφίαν καταβαλέσθαι.* 6. οἱ ἀγαθοὶ κατελίποντο υἱοὺς ὁμοίους ἑαυτοῖς. 7. οὐκ εἶχον† ὅποι‡ τράποιντο. 8. Ἀμφίων καὶ Ζηθεύς, τὼ Δίος υἱώ, τείχει περιεβαλέτην τὰς Θήβας.

1. I did not obey (my) companions when they spoke (*pres. part.*) to me. 2. The soldiers turned-themselves to flight. 3. I had not (*see No. 7 above*) whither I might turn myself (*optative*). 4. We were in fear lest (μή) we might be turned out of (*opt.*) the way. 5. The ancients used to say (*imperf.*) that Phaeton, while-driving (*pres. part.*) the chariot of his father, was turned out of the way (*see No. 5 above*). 6. Obey your parents when-they-speak (*pres. part.*) to you. 7. Miltiades is said to have left-behind a son like himself. 8. The citizens surrounded the camp with walls.

Fifth General Exercise.

(On all preceding Grammar.)

1. ἡμεῖς σὺν ἵπποις τοῖς δυνατωτάτοις καὶ ἀνδράσι πορευώμεθα. 2. μεῖζον ἀγαθόν ἐστιν αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου ἢ ἄλλον ἀπαλλάξαι. 3. λοῦνται δὲ δὶς τῆς ἡμέρας ἑκάστης ψυχρῷ (*sc.* ὕδατι), καὶ δὶς ἑκάστης νυκτός. 4. Παυσανίας ἐκ Λακεδαίμονος στρατηγὸς ὑπὸ Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου. 5. τῶν Ἀθηναίων Καλλίμαχος, ἀνὴρ ἄριστος, πολλοῖς πεπαρμένος δόρασι, διεφθάρη. 6. ὁ δὲ Κῦρος τῶνδε ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν τῶν πολεμίων χώραν ὡς τάχιστα. 7. κατελέλειπτο ὑπὸ τῶν πολεμίων πολλὰ πρόβατα.

* For the rule for the Accusative and Infinitive, see Syntax, § 36.
† Imperfect of ἔχω, *I have*.
‡ The form ὅποι is relative, whereas ποῖ is interrogative; so ὅποσος, πόσος.

Digitized by Google

8. οἱ δὲ στρατιῶται ταῦτα ἀκούσαντες τὰ παρηγγελμένα ἔπραττον. 9. οὐ γὰρ διαπέπρακται ἡμῖν ἃ βουλόμεθα. 10. πρεσβυτέροις νεωτέρων πάντων ἄρχειν προστετάξεται.

1. Speak and it shall be done (*use fut. perf.*). 2. Many oxen had been left-behind in the camp. 3. Pythagoras (Πυθαγόρας) first called himself a philosopher; the more ancient were called σοφοί. 4. Having been persuaded by my friends, I was freed-from the most disgraceful slavery. 5. To all younger (men) it has been assigned to obey (*2nd aorist*) the elder. 6. You-two had always pursued pleasure rather than reputation. 7. The Athenians abandoned the city which had been rased-to-the-ground (*perf. pass. part.*). 8. Twice on that day they bathed in the river. 9. The islands were full of various trees which the sailors had planted. 10. Many temples have been set-up to the gods by men.

Exercises on Contracted Verbs.

(I. G. pages 70, 71.)

I. *Verbs in* αω.

Present and Imperfect Active.

Exercise XLVIII.

Note.—Some stems in *a* have a preference for η, which they admit in the place of ᾱ: as ζάω, *I live*, ζῇς, ζῇ, ζῆτε, ζῆν; πεινάω, *I am hungry*, πεινῆν; διψάω, *I thirst*, διψῆν; so also χράομαι, *I make use of*, and a few others.

1. ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. 2. οὐκ αἰσχύνονται ταῦτα τολμῶντες. 3. ἡ ὀργὴ πολλὰ δρᾶν κακὰ ἡμᾶς ἀναγκάζει. 4. εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί. 5. ἦν δέ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη. 6. οἱ φαῦλοι τῶν σωμάτων μᾶλλον ἢ τῶν ψυχῶν ἐρῶσι. 7. πᾶς νοῦν ἔχων τιμάτω τὰς τῶν γονέων εὐχάς. 8. ὁ γὰρ ἄνθρωπος οὐ τοῖς σκέλεσιν ζῇ, ἀλλὰ τῷ νῷ. 9. πῶς ἂν τολμῷην πεινῆν τε καὶ διψῆν. 10. οἱ παῖδες, τοῦ θέρους τελευτῶντος (*gen. abs. see Syntax*, § 20), ἔτι ἔζων.

1. He was about (*use* μέλλω) to die. 2. For good men love their enemies. 3. The woman, though-venturing-on (*pres. part. of* τολμάω) these things, is not ashamed. 4. We all do many disgraceful things in-anger (*dative*). 5. They were, when they died, about seventy years (old). 6. Boy, be silent; honour those-who-are (*use*

Digitized by Google

art.) older. 7. Let all who-have (*pres. part.*) intelligence honour the words of the wise. 8. For ye live not by your legs, but by your intelligence. 9. We dared both to hunger and to thirst rather than to do such things. 10. Let not fear conquer thee.

Present and Imperfect Passive and Middle.

Exercise XLIX.

1. οἱ θεοὶ χαίρουσι τιμώμενοι ὑπ' (ὑπὸ) ἀνθρώπων. 2. οὗτοι χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. 3. δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι (*see note above*) ὥσπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ. 4. τοῖς τῶν φίλων λόγοις οἱ ἀγαθοὶ νικῶνται. 5. εἴθε πάντες οἱ πρεσβύτεροι ὑπὸ τῶν νεωτέρων τιμῷντο. 6. οἱ σώφρονες τῇ ὀργῇ οὐκ ἐχρῶντο. 7. πειρώμεθα αὐτοῖς ἀποκρίνεσθαι. 8. εἴθε τοῦ πράγματος αἰτιῷσθε αὐτούς. 9. τινές σε ἤδη αἰτιῶνται. 10. μὴ κακὸν κακῷ ἰᾶσθε.*

